# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: uhi-aa

*Λεξικογραφικὸν ἔργον ἀνώνυμον* · Lexicographical Work Anonymous II

## Words in the Scriptures-Christ's Birth

*Λόγοι ἐν ταῖς Γραφαῖς περὶ Γεννήσεως Χριστοῦ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

alpha 58 (1t) ΛΕΞΕΙΣ ΕΓΚΕΙΜΕΝΑΙ ΤΟΙΣ ΚΑΝΟΣΙ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ ΤΩΝ ΦΩΤΩΝ ΚΑΙ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ. Ἀρχὴ τοῦ Α. ἀφεγγεῖς · μὴ ἔχοντας φέγγος ἢ φῶς. ἀπεγράφης · ἠριθμήθης. ἀπαύγασμα · ἀκτὶς ἡλίου. ἀπήμαντον · ἀβλαβῆ· πῆμα γὰρ ἡ βλάβη.

alpha 59 ἄνα · βασιλεῦ. ἀφιγμένον · ἐληλυθότα. ἀχράντοιο · ἀχράντου. ἀχλύν · σκότος. αὖθις · πάλιν. αὐχένα · τράχηλον. ἀρρήτως · ἀλέκτως. ἀμείνω · καλλίονα, βελτίονα. ἀγραυλοῦντες · ἐν ἀγρῷ οἰκοῦντες. ἀστροπολοῦντας · ἀστεροσκοποῦντας. αὐδῶ · προσφωνῶ. ἀγριωπόν · ἀγριόφθαλμον. ἀπαρκέσαι · καταπαῦσαι. ἀμπλακ[ε]ίην · ἁμαρτίαν. ἄπλητα · μέγα, πολύ· ἐπιρρηματικῶς δέ. ἄσπετον · πολύ, ἄφθονον. ἀρωγέ · βοηθέ, λυτρωτά. ἀνθοποιόν · ἄνθη ἐκφέρουσαν. ἀμφ' ὤμοισιν · ἀμφοτέροις τοῖς ὤμοις. ἀθρῶν · θεωρῶν. αἴσχους · ἁμαρτίας, αἰσχύνης, ὀνειδισμοῦ. ἀνειμένων · ἀνεῳγμένων. ἀκηράτου · ἀφθάρτου. ἁγιστία · ἁγιοσύνη. αἰγλῆντα · ἀστράπτοντα. ἀμείνονα · βελτίονα. ἀπηνές · σκληρόν. ἄντλημα · ὕδωρ. ἀρκύων · δικτύων. ἀναιρέτην · λυτρωτήν. ἀνηλίων · σκοτεινῶν, μὴ ἐχουσῶν ἥλιον. ἀντωθουμένη · βαρουμένη.

alpha 60 ἀπεχθοῦς · μισητοῦ. ἀπλανῆ τρίβον · εὐθεῖαν. ἄσεμνα · ἀπρεπῆ. ἀτρεκέστατος · ἀληθέστατος. ἄληπτος · ἀκράτητος. ἅλις · ἀρκούντως. ἄνασσα · βασίλισσα. ἀλθαίνοντα · ἰώμενον. ἀφύκτοις · ἃς οὐδεὶς δύναται φυγεῖν. ἃ πατρακουστής · ἃ παρὰ τοῦ πατρὸς ἀκούσας. Ἀρχὴ τοῦ Β.

beta 60 (12t) βροτησίᾳ · τῇ ἀνθρωπίνῃ οὐσίᾳ. βακχεύσασαν · ὀρχουμένην, πλανηθεῖσαν, ἐξεστηκυῖαν. βατήν · βάσιμον. βεβυσμένα · βεβυθισμένα. βορῶν · στομάτων. βάσει · στηρίγματι. βρόχων · ἀγχονῶν, δεσμῶν. βρέτας · εἴδωλον. βροτοσσόων · βροτείων λόγων. Ἀρχὴ τοῦ Γ.

gamma 60 (22t) γεγῶσα · γεγονυῖα. γῆρυν · φωνήν. γενάρχην · τὸν τοῦ γένους ἀρχηγὸν Ἀδάμ. γεραίρων · δοξάζων. Ἀρχὴ τοῦ Δ.

delta 60 (27t) διαρτίας · διαπλάσεως. δορύκλυτον · ἔνδοξον μετὰ δόρατος. δορικτήτους · μετὰ δόρατος κτηθέντας. διαμπάξ · διόλου. διῶσαι · ἐκβαλεῖν.

delta 61 διαρθροῖ · διαπλάττει. δίναις · συστροφαῖς· δῖναι 〈γὰρ〉 τὰ κοιλώματα τῶν ὑδάτων. δρῶσα · ποιοῦσα. δοξούμενοι · κατοπτριζόμενοι. δεδορκότες · ὁρῶντες, ἰδόντες. δόμον · οἶκον. δυσκάθεκτον · δυσκράτητον. δυσκάθαρτον · ἀκάθαρτον. Ἀρχὴ τοῦ Ε.

epsilon 61 (10t) ἐπταικότα · πταίσαντα. ἐπιπνοίας · ἐπιπνεύσεως. εὐτελοῦς · ταπεινῆς. ἔχθους · μίσους. ἔμβρυον · παιδίον. ἐπισκοτεῖται · σκοτίζεται. ἐξαλεξῆσαι · βοηθῆσαι, ὑγιάσαι. ἐξακεύμενον νόσον · ἐξιώμενον νόσον. ἐξώρουσεν · ἐξώρμησεν. ἐξικνούμενον · κατερχόμενον. ἐῢς πάϊς · ἀγαθὸς

παῖς. ἔχθιστον · μεμισημένον. ἑστῶσαν · ἐπηρμένην, ἐξεστηκυῖαν. εὐκτῶς · ὑγιῶς. ἐξοιστρημένου · ἠρεθισμένου. ἐξ ἐρημαίων λόφων · ἐξ ἐρήμων ὀρέων. ἔκριζον · ἀπορριζῶν τὴν ἁμαρτίαν. εὐεπίης · εὐλαλοῦς. εὐπάθεια · εὐτροφία, σπατάλη. ἐνάλιος · θαλάσσιος. εὖχος · δόξα. εἴκαθεν · ὑπεχώρησεν. ἐθρόησεν · ἐφόβησεν. ἔνθους · ἐκ θεοῦ κινηθείς. ἐνδίνοισιν · ἐντοσθίοις μέλεσιν. εὐδίνητον · εὔστροφον.

epsilon 62 ἐκπεράνας · εἰς πέρας εἰσαγαγών. Ἀρχὴ τοῦ Ζ.

zeta 62 (3t) ζοφώδους · σκοτεινοῦ. ζέσει · θέρμῃ. Ἀρχὴ τοῦ Η.

eta 62 (6t) ἠγκιστρωμένοι · ἠγρευμένοι, κεκρατημένοι. ἤπειρον · πεζὴν γῆν. ἠπειγμένον · φθάσαντα. ἠμφιεσμένος · ἐνδεδυμένος. ἥδεται · ἡδύνεται. ἦισεν · ὕμνησεν. Ἀρχὴ τοῦ Θ.

theta 62 (13t) θηρᾷ · ἀγρεύει. θυμηδίαν · χαράν, τέρψιν. θεόδμητον · ἐκ θεοῦ οἰκοδομηθεῖσαν. θᾶττον · ταχύ. θέσπιν ὄπα · θείαν φωνήν. Ἀρχὴ τοῦ Ι.

iota 62 (19t) ἰσθμός · γῆ μέσον δύο θαλασσῶν. προθμὸς δὲ τὸ ἐναντίον, θάλασσα μέσον δύο γαιῶν. ἱμερτόν · ἐπιθυμητόν, ἡδύ, καλόν. ἰλύν · ῥύπον. ἰῆτο · ἰᾶτο. ἰόν · παραγενόμενον. ὅρα, ὦ ἀναγινώσκων, μὴ τὸν τοῦ ὄφεως ὑπολάβῃς ὧδε εἰρῆσθαι ἰόν, ἀλλὰ τὸ ἐπὶ τῆς Πεντηκοστῆς πνεῦμα ἐρχόμενον. ἰλιγγιᾷ · ἀτονεῖ, σκοτοῦται. ἱδρυμένος · καθήμενος. ἰσοσθενοῦσαν · ἰσοδυναμοῦσαν. ἰῆς · τῆς σῆς. λέγεται δὲ καὶ ἐπὶ μιᾶς. ἰσοσθενής · ἰσοδύναμος. Ἀρχὴ τοῦ Κ.

kappa 63 (1t) κευθμῶνας · ἀφεγγεῖς τόπους. καββαλών · καταβαλών. καθειργνύς · κατακλείσας. κλύσαντα · βυθίσαντα. κλέος · δόξαν. κεκευθμένον · κατακεκρυμμένον. κεκρύφεις · ἔκρυψας. καθιδρύει · κάθηται καὶ καταμένει. κλισμοῖσι · θρόνοις. Ἀρχὴ τοῦ Λ.

lambda 63 (11t) λυγρῶς · ἐλεεινῶς, ἀθλίως. λυπρῶς δὲ ἀντὶ τοῦ λυπηρῶς κεῖται. λύμην · φθοράν. λόφων · ὀρέων. λελιπαρημένον · παρακεκλημένον. λέσχην · φλυαρίαν, ἀκαιρολογίαν. Ἀρχὴ τοῦ Μ.

mu 63 (18t) μυχοῖς · ἐνδοτέροις τόποις. μολεῖν · ἔρχεσθαι. μίμνουσι · μένουσι. μύστης · μυσταγωγός, ἢ μυστήρια εἰδώς. μέλας · σκοτεινός. μέδων · βασιλεύς. μελέων · ὕμνων. Ἀρχὴ τοῦ Ν.

nu 63 (26t) νεηγενές · ἀρτιγενές. ναίων · οἰκῶν. νάουσι · ῥέουσι. νηδύν · γαστέρα. νοσφισμός · χωρισμός. νημερτές · ἀληθές. Ξ.

xi 63 (33t) ξύμπαντας · τοὺς σύμπαντας. Ἀρχὴ τοῦ Ο.

omicron 64 (1t) ὄπα · φωνήν. ὄλβον · χρέως, πλοῦτον. οἰκτρῶς · ἐλεεινῶς, ἀθλίως. ὄλισθον · πλάνον. ὀλλύμενον · ἀπολλύμενον. οἷος ἐξ οἵου · μόνος ἐκ μόνου. ὀθνείαν · ξένην. ὀρεκτόν · ἐπιθυμητόν. Ἀρχὴ τοῦ Π.

pi 64 (10t) πολύστονα · πολυστένακτα. πήματα · βλάβη. παρειμένας · παρεωρημένας. ἢ καὶ παρηγμένας, οἱονεὶ παρελθούσας. προνομεύσας · διαρπάσας. παμφαοῦς · φαιδροτάτης. πυρσῷ · φωτί. πηλίνης · γηΐνης. πενιχρόν · ταπεινόν. πρὸς πατρός · παρὰ πατρός. παμπήδην · παντελῶς, ὁλοσχερῶς. πολυρρύτοισι · πολυ 〈ρ〉 ρέουσι. προμηθίᾳ · ἐπιμελείᾳ, προνοίᾳ. ποντίου · θαλαττίου. πόλοιο · πόλου, οὐρανοῦ. ποτνιᾶται · παρακαλεῖται, ἢ νῦν τιμάζεται, δοξάζεται. πέλειαν · περιστεράν. προσηνῆ · εὐμενῆ. πανόλβιον · πᾶν ἔχουσαν, πάμπλουτον. πρόσθεν · πρῶτον. περαίνεις · ποιεῖς, πληροῖς. πορίζων · ἀπεργαζόμενος. πέδας · δεσμούς. πατροσθενὲς ξύμμορφον · πατροδύναμον καὶ σύμμορφον. προσιτήν · βάσιμον.

pi 65 πανολβίῳ · πολυπλούτῳ. ποππυσμάτων · ὕβρεων, κολακιῶν. πόντος · πέλαγος. Ἀρχὴ τοῦ Ρ.

rho 65 (5t) ῥώμη · ἰσχύς, δύναμις. ῥοαῖς · τοῖς ῥέουσιν ὕδασιν. ῥυπτόμενον · καθαιρόμενον. ῥήγνυσι γῆρυν · ῥήσσει, διασπαράσσει. ῥᾷον · εὔκολον, εὐχερές. ῥυπτικόν · καθαρτικόν. ῥήτρας · ῥήτορας. Ἀρχὴ τοῦ Σ.

sigma 65 (13t)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σπέος · σπήλαιον. σίντιν · σκώληκα βλαπτικόν. σμήχων · καθαίρων. στείβει · περιπατεῖ. σθένει · δυνάμει. σέλας · φῶς. στέργειν · ἀγαπᾶν, ἐμμένειν. σιωνίταις · τοῖς τὴν Σιὼν οἰκοῦσιν. σέθεν · σοῦ. σέβας · προσκύνησις, τιμή. συνεδριάζων · συγκαθεζόμενος, συγκαθήμενος. Ἀρχὴ τοῦ Τ.

tau 65 (25t) τελεῖ · γίνεται, ὑπάρχει. τρίβον · ὁδόν. τριττοὶ θεουδεῖς · τρεῖς θεοειδεῖς. τρανῶς · σαφῶς, φανερῶς. τεθηγμένους · ἠκονημένους. τριτταῖς · τρισσαῖς. τάλαινα · ἀθλία. τιμῆεν · ἔντιμον. Ἀρχὴ τοῦ Υ.

upsilon 66 (1t) υἷας · υἱούς. ὑλικήν · ὑλώδη, φθαρτήν. ὑπέσχες · ὑπέδωκας. ὑφαίνειν · ποιεῖν. ὕδειν · ὑμνεῖν· παρὰ τὸ ὑάδειν κατὰ συγκοπήν. Ἀρχὴ τοῦ Φ.

phi 66 (7t) φύτλης · φυλῆς ἢ φύσεως. φυράματος · διαπλάσεως. φλοιδούμενος · φλογιζόμενος. φέριστον · ἐξοχώτατον. φερέζωον · φέρον ζωήν. φερέσβιον · ζωοποιόν. φλᾶν · θλᾶν. φρυκτωρίας · λαμπαδουχίας, δᾳδουχίας. φυεῖσα · ὑπάρξασα, γεννηθεῖσα. φρυαττόμενος · ὑπερηφανευόμενος. φάους · φωτός. Ἀρχὴ τοῦ Χ.

chi 66 (19t) χώρου · τόπου. χειραπτήσας · κρατήσας, χειρὶ ἁψάμενος. χοϊκός · ἀπὸ γῆς ὤν. χαὐτῷ · καὶ αὐτῷ· καὶ κατὰ ἀποβολὴν τοῦ ι τοῦ καὶ συνδέσμου καὶ κράσει τοῦ α καὶ αυ 〈καὐτῷ〉, καὶ διὰ τὸ δασὺ πνεῦμα τοῦ αυ τρέπεται τὸ κ εἰς χ . Τὸ δὲ Ψ ἐν χρήσει οὐχ εὕρηται.

omega 66 (27t) Ω. ὠδίς · ὠδῖνος· σημαίνει καὶ τὴν γέννησιν. ὤκιστα · τάχιστα. ὡς ἄημα · ὡς πνεῦμα· ἄημα γὰρ τὸ πνεῦμα παρὰ Διογενιανῷ. Τέλος σὺν θεῷ τοῦ λεξικοῦ τῶν κανόνων κατὰ ἀλφάβητον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org